eul_wid: uws-ab

*Ἡσύχιος ὁ Μιλήσιος ὁ Ἰλλουστρίος* · Hesychius of Miletus the Illustrious

# Homily-the Nativity of Christ, Possibly Part of Roman and Universal History

*Ὁμιλία εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

[20] ΗΣΥΧΙΟΥ ΕΙΣ ΤΗΝ ΓΕΝΝΗΣΙΝ. Ἐν τῷ μβʹ ἔτει τῆς Βασιλείας Αὐγούστου, μηνὶ Δεκεμβρίῳ κεʹ, ἡμέρᾳ ϛʹ, ὥρᾳ ζʹ τῆς ἡμέρας, ἐγεννήθη ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὸ κατὰ σάρκα ἐκ τῆς ἁγίας Παρθένου Μαρίας, ἔτους κατὰ Ἀντιοχεῖς ἀπὸ κτίσεως κόσμου, ἕως τῆς Χριστοῦ γεννήσεως [καὶ σταυρώσεως] ϛʹ. Συνάγεται γὰρ ἀπὸ Ἀδὰμ ἕως Φαλὲκ υἱοῦ Εβερ ἔτη τρισχίλια, καὶ ἀπὸ τοῦ Φαλὲκ ἕως μβʹ ἔτους τῆς Βασιλείας Αὐγούστου ἔτη ͵ εϡξζʹ, καὶ λοιπὸν συνανεστράφη ὁ Σωτὴρ τοῖς ἀνθρώποις ἔτη λγʹ, ὡς γίνεσθαι ἀπὸ Ἀδὰμ ἕως τῆς Χριστοῦ Γεννήσεως [καὶ σταυρώσεως] ἔτη ͵ ϛʹ πλήρη. Ο γὰρ Φαλὲκ, κατὰ τὴν προφητεῖαν Μώσεως, τὸ ἥμισυ λέγεται τοῦ χρόνου τῆς Χριστοῦ ἐπιφανείας. Ὥσπερ γὰρ τὸν ἄνθρωπον τῇ ϛʹ ἡμέρᾳ πλάσας ὁ Θεὸς, καὶ ἑξῆς ὑπέπεσεν τῇ ἁμαρτίᾳ, οὕτως καὶ τῇ ϛʹ ἡμέρᾳ τῆς χιλιάδος ἐπὶ τῆς γῆς ἦλθεν, καὶ ἔσωσεν αὐτόν. Τοῦτο γὰρ δηλοῖ καὶ ἡ θεία γραφὴ, λέγουσα· Ἡμέρα Κυρίου ὡς χίλια ἔτη. Α τινα καὶ Κλήμης, καὶ Θεόφιλος, καὶ Τιμόθεος οἱ θεοφιλέστατοι χρονογράφοι ἐξέθεντο ὁμοφρονήσαντες, ὅτι τῇ ϛʹ χιλιάδι τῶν ἐνιαυτῶν ἐφάνη ὁ Κύριος κατὰ τὸν ἀριθμὸν τῶν ϛʹ ἡμερῶν τῆς πλάσεως τοῦ Ἀδὰμ, ῥυσάμενος τὸ γένος τῶν ἀνθρώπων. Ἕτεροι δὲ φασὶν ὅτι τῷ ͵ εφʹ ἔτει ἦλθεν Κύριος· ἀλλ᾽ οὐ πολλοὶ συμφωνοῦσιν εἰς τοῦτο, ἐν δὲ τῷ ϛʹ ἔτει πάντες οἱ ἀκριβεῖς συγγραφεῖς συμφωνοῦσιν περὶ τούτου τινὲς, ἀλλ᾽ ἡ προφητικὴ φωνὴ ἀληθεύει μᾶλλον διδάσκουσα εἰς τὸ ͵ ϛ ἔτος φανῆναι τὸν Κύριον ἄνθρωπον. [20]